Βα. ὡς ἰδεῖν τέλος πάρεστιν οἷον ἤνυσεν κακόν.
Δα. καὶ τί δὴ πράξασιν αὐτοῖς ὧδ᾿ ἐπιστενάζετε;
Βα. ναυτικὸς στρατὸς κακωθεὶς πεζὸν ὤλεσε στρατόν.
Δα. ὧδε παμπήδην δὲ λαὸς πᾶς κατέφθαρται δορί;
Βα. πρὸς τάδ᾿ ὡς Σούσων μὲν ἄστυ πᾶν κενανδρίαν στένει—
Δα. ὢ πόποι κεδνῆς ἀρωγῆς κἀπικουρίας στρατοῦ.
Βα. Βακτρίων δ᾿ ἔρρει πανώλης δῆμος †οὐδέ τις γέρων.
Δα. ὢ μέλεος, οἵαν ἄρ᾿ ἥβην ξυμμάχων ἀπώλεσεν.
Βα. μονάδα δ᾿ Ξέρξην ἔρημόν φασιν οὐ πολλῶν μέτα—
Δα. πῶς τε δὴ καὶ ποῖ τελευτᾶν; ἔστι τις σωτηρία;
Βα. ἄσμενον μολεῖν γέφυραν γαῖν δυοῖν ζευκτηρίαν.
Δα. καὶ πρὸς ἤπειρον σεσῶσθαι τήνδε, τοῦτ᾿ ἐτήτυμον;
Βα. ναί· λόγος κρατεῖ σαφηνὴς τοῦτό γ᾿· οὐκ ἔνι στάσις.
Δα. φεῦ, ταχεῖά γ᾿ ἦλθε χρησμῶν πρᾶξις, ἐς δὲ παῖδ᾿ ἐμὸν
Ζεὺς ἀπέσκηψεν τελευτὴν θεσφάτων· ἐγὼ δέ που
διὰ μακροῦ χρόνου τάδ᾿ ηὔχουν ἐκτελευτήσειν θεούς·
ἀλλ᾿, ὅταν σπεύδῃ τις αὐτός, χὡ θεὸς συνάπτεται.
νῦν κακῶν ἔοικε πηγὴ πᾶσιν ηὑρῆσθαι φίλοις.
παῖς δ᾿ ἐμὸς τάδ᾿ οὐ κατειδὼς ἤνυσεν νέῳ θράσει·
ὅστις Ἑλλήσποντον ἱρὸν δοῦλον ὣς δεσμώμασιν
ἤλπισε σχήσειν ῥέοντα, Βόσπορον ῥόον θεοῦ·
καὶ πόρον μετερρύθμιζε, καὶ πέδαις σφυρηλάτοις
περιβαλὼν πολλὴν κέλευθον ἤνυσεν πολλῷ στρατῷ.
θνητὸς ὢν θεῶν τε πάντων ᾤετ᾿, οὐκ εὐβουλίᾳ,
καὶ Ποσειδῶνος κρατήσειν· πῶς τάδ᾿ οὐ νόσος φρενῶν



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416177115/90 UNIVERSITÄT LEIPZIG